στε μοι; λέγει κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μου; ποῖον οἶκον Παῦλος οἰκοδομεῖ διὰ τῶν ἁγίων εὐχῶν; Κάμπτω, φησὶν, τὰ γόνατά μου πρὸς τὸν πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. ἐμὴν κἀκεῖθεν ἴδοι τις ἂν τὴν δύναμιν τῶν ἁγίων εὐχῶν, ὅτι Παῦλος ὁ διὰ πάσης τῆς οἰκουμένης ὥσπερ ὑπόπτερος τρέχων, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ὑπομένων, καὶ φορῶν ἅλυσιν, καὶ ζῶν ἐν αἵμαλι καὶ κινδύνοις, καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, καὶ παύων ἀρρωστήματα, οὐδενὶ τούτων ἐθάρρησεν εἰς σωτηρίαν τῶν ἀνθρώπων, ἀλλὰ ταῖς προσευχαῖς ἐτείχισε τὴν γῆν· καὶ μετὰ τὰ σημεῖα, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐπὶ

terra verò ſcabellum pedum meorum. Qualem domum ædiſicabitis mihi, *ait Dominus* vel quis locus commorationis meæ? *Qualẽ domum Paulus ſanctis precib. ædificauit?* Flecto, *inquit*: genua mea ad patrẽ Domini noſtri Ieſu Chriſti, *vt Chriſtus per fidẽ in cordibus veſtris inhabitet. Atq; hinc etiam ſanctarum precationum vim quiſq; cognouerit, nam cùm idem Paulus omnẽ orbem terrarum, quaſi volucris aliqua peruolaret, in carcere verſaretur, flagella perferret, catenas geſtaret, in cædib. ac periculis viueret, dæmones expelleret, homines à mortuis excitaret, morbos curaret; ad hominum tamen ſalutem harum rerum nulla confidebat, ſed precib. terras cõ-*